[πένθος γὰρ ἡμῖν ἐστι· καὶ κουρὰν βλέπεις<br>
μελαμπέπλους στολμούς τε.] *HP.* [τίς δ' ὁ κατθανών;]<br>
μῶν ἢ τέκνων τι φροῦδον ἢ γέρων πατήρ;<br>
*ΘΕ.* γυνὴ μὲν οὖν ὄλωλεν Ἀδμήτου, ξένε.<br>
*HP.* τί φής; ἔπειτα δῆτά μ' ἐξενίζετε;<br>
*ΘΕ.* ᾐδεῖτο γάρ σε τῶνδ' ἀπώσασθαι δόμων.<br>
*HP.* ὦ σχέτλι', οἵας ἤμπλακες ξυναόρου.<br>
*ΘΕ.* ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.<br>
*HP.* ἀλλ' ᾐσθόμην μὲν ὄμμ' ἰδὼν δακρυρροοῦν<br>
κουράν τε καὶ πρόσωπον· ἀλλ' ἔπειθέ με<br>
λέγων θυραῖον κῆδος ἐς τάφον φέρειν.<br>
βίᾳ δὲ θυμοῦ τάσδ' ὑπερβαλὼν πύλας<br>
ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις,<br>
πράσσοντος οὕτω. κᾆτα κωμάζω κάρα<br>
στεφάνοις πυκασθείς· ἀλλὰ σοῦ τὸ μὴ φράσαι,<br>
κακοῦ τοσούτου δώμασιν προσκειμένου.<br>
ποῦ καί σφε θάπτει; ποῖ νιν εὑρήσω μολών;<br>
*ΘΕ.* ὀρθὴν παρ' οἶμον, ἣ 'πὶ Λάρισαν φέρει,<br>
τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.<br>
*HP.* ὦ πολλὰ τλᾶσα καρδία καὶ χεὶρ ἐμή,<br>
νῦν δεῖξον οἷον παῖδά μ' ἡ Τιρυνθία<br>
Ἠλεκτρυόνος ἐγείνατ' Ἀλκμήνη Διί.<br>
δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως<br>
γυναῖκα κεἰς τόνδ' αὖθις ἱδρῦσαι δόμον<br>
Ἄλκηστιν, Ἀδμήτῳ θ' ὑπουργῆσαι χάριν.

---

818—20 schol. ad v. 820: *ταῦτα δὲ τὰ τρία* [sc. *ἰαμβεῖα*] *ἔν τισιν οὐκ ἔγκειται*, quae ad tres v. 818—20 referri solent, referenda autem videntur ad v. 818 et ad duas partes versus 819    820 *τι φροῦδον ἢ a*] *τι φροῦδον γένος* (*γένος* delevit $B^1$) *ἢ B* *τὶς φροῦδος ἢ L* *τὶς ἢ φροῦδος ἢ P*    825 *μόνον L*    827 *πρόσωπον*] *πεπλώματ'* Mekler et Stadtmueller, fort *τὸν στολμόν* | *ἀλλ'*] *ἀλλ' ὅμως B* *ὅμως* delevit $B^1$    829 *τύχας πύλας* (sic) *a* *πύλας* erasit et *τύχας* in *πύλας* mut. $a^3$    831 *κᾆτα* (*κᾄτα* $a^2$) *κωμάζω a*] *κατακωμάζω B* *κᾆτ' ἐκώμαζον L* *κἀπεκώμαζον P*    833 *δώμασιν a*] *δώμασι S* *δόματος B* | *προσκειμένου* Scaliger] *προκειμένου* libri    834 *ποῖ* Monk] *ποῦ* libri | *μολῶν B*    835 *οἶμον B* | *Λάρισαν* Nauck] *λάρισσαν* libri    836 *προαστίου Lp*] *προαστείου r*    837 *καὶ χεὶρ*] *ψυχή τ' a* cf. Orest. 466    838 *μ'*] Tournier] *σ'* libri    839 *ἠλεκτρυόνος C* (*Ἠλεκτρύονος* Blomfield)] *ἠλεκτρύωνος a* *ἠλεκτρυῶνος r* | *ἐγείνατ'* Heath] *γείνατ'* libri    841 *ἱδρῦσαι P*] *ἱδρύσαι r*    842 *θ'*] *δ' S*